## 581 (532 K)

Stobaevs, *Eclogae* iv. 22. 119. *Μενάνδρου·*

*καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει*
*ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνούμεθα,*
*οὐκ ἐξετάζειν μὲν τὰ μηθὲν χρήσιμα,*
*τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τήθη δὲ τίς,*
*τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ᾿ ἧς*
*βιώσεται, μήτ᾿ ἐξετάσαι μήτ᾿ 〈 〉ιδεῖν·*
*ἀλλ᾿ ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ᾿ ἵνα*
*εἰ τἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδηι,*
*ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται,*
*τῆς διὰ βίου δ᾿ ἔνδον καθεδουμένης ἀεὶ*
*μὴ δοκιμάσασθαι μηδέν, ἀλλ᾿ εἰκῆι λαβεῖν,*
*ἀγνώμον᾿ ὀργίλην χαλεπήν, ἐὰν τύχηι*
*λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα*
*τὴν πόλιν ὅλην· οἱ βουλόμενοι ταύτην λαβεῖν*
*λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακὸν*
*λήψεσθ᾿· ἀνάγκη γὰρ γυναῖκ᾿ εἶναι κακόν,*
*ἀλλ᾿ εὐτυχής ἐσθ᾿ ὁ μετριώτατον λαβών.*

## 592 (546 K)

Stobaevs, *Eclogae* iv. 23. 11. *Μενάνδρου·*

*τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις, γύναι,*
*διὰ τὴν λαλιάν· πέρας γὰρ αὔλειος θύρα*
*ἐλευθέραι γυναικὶ νενόμιστ᾿ οἰκίας,*
*τὸ δ᾿ ἐπιδιώκειν εἴς τε τὴν ὁδὸν τρέχειν*
*ἔτι λοιδορουμένην κυνός ἐστ᾿ ἔργον, Ῥόδη*